Αχιαχαρον τὸν Αναηλ υἱὸν τοῦ ἀδελφοῦ μου ἐπὶ πᾶσαν τὴν ἐκλο- BA
22 γιστίαν τῆς βασιλείας αὐτοῦ καὶ ἐπὶ πᾶσαν τὴν διοίκησιν. [22]καὶ ἠξί-
ωσεν Αχιαχαρος περὶ ἐμοῦ, καὶ ἦλθον εἰς Νινευη. Αχιαχαρος δὲ ἦν ὁ
οἰνοχόος καὶ ἐπὶ τοῦ δακτυλίου καὶ διοικητὴς καὶ ἐκλογιστής, καὶ κατ-
έστησεν αὐτὸν ὁ Σαχερδονος ἐκ δευτέρας· ἦν δὲ ἐξάδελφός μου.
2 [1]Ὅτε δὲ κατῆλθον εἰς τὸν οἶκόν μου καὶ ἀπεδόθη μοι Αννα ἡ
γυνή μου καὶ Τωβιας ὁ υἱός μου, ἐν τῇ πεντηκοστῇ τῇ ἑορτῇ, ἥ
ἐστιν ἁγία ἑπτὰ ἑβδομάδων, ἐγενήθη ἄριστον καλόν μοι, καὶ ἀν-
2 έπεσα τοῦ φαγεῖν. [2]καὶ ἐθεασάμην ὄψα πολλὰ καὶ εἶπα τῷ υἱῷ μου
Βάδισον καὶ ἄγαγε ὃν ἐὰν εὕρῃς τῶν ἀδελφῶν ἡμῶν ἐνδεῆ,
3 ὃς μέμνηται τοῦ κυρίου· καὶ ἰδοὺ μενῶ σε. [3]καὶ ἐλθὼν εἶπεν
Πάτερ, εἷς ἐκ τοῦ γένους ἡμῶν ἐστραγγαλωμένος ἔρριπται ἐν τῇ
4 ἀγορᾷ. [4]κἀγὼ πρὶν ἢ γεύσασθαί με ἀναπηδήσας ἀνειλόμην αὐτὸν

21 υιον] pr. τον A || 22 οινοδοχος A† | εκ] pr. υιος B
2 1 δε > A† | τη 2⁰ > B | και ult. > B† | ανεπεσα] -παυσαμην A† || 2 ενδεη ος μεμν. > A† || 3 εστραγγαλημενος ABc || 4 η > A

---

Αχιχαρον τὸν Αναηλ τὸν τοῦ ἀδελφοῦ μου υἱὸν ἐπὶ πᾶσαν τὴν S
ἐκλογιστίαν τῆς βασιλείας αὐτοῦ, καὶ αὐτὸς εἶχεν τὴν ἐξουσίαν
22 ἐπὶ πᾶσαν τὴν διοίκησιν. [22]τότε ἠξίωσεν Αχιχαρος περὶ ἐμοῦ, καὶ
κατῆλθον εἰς τὴν Νινευη. Αχιχαρος γὰρ ἦν ὁ ἀρχιοινοχόος καὶ ἐπὶ
τοῦ δακτυλίου καὶ διοικητὴς καὶ ἐκλογιστὴς ἐπὶ Σενναχηριμ βασι-
λέως Ἀσσυρίων, καὶ κατέστησεν αὐτὸν Σαχερδονος ἐκ δευτέρας·
ἦν δὲ ἐξάδελφός μου καὶ ἐκ τῆς συγγενείας μου.
2 [1]Καὶ ἐπὶ Σαχερδονος βασιλέως κατῆλθον εἰς τὸν οἶκόν μου, καὶ
ἀπεδόθη μοι ἡ γυνή μου Αννα καὶ Τωβιας ὁ υἱός μου. καὶ ἐν τῇ
πεντηκοστῇ τῇ ἑορτῇ ἡμῶν, ἥ ἐστιν ἁγία ⟨ἑπτὰ⟩ ἑβδομάδων, ἐγενήθη
2 μοι ἄριστον καλόν, καὶ ἀνέπεσα τοῦ ἀριστῆσαι. [2]καὶ παρετέθη μοι
ἡ τράπεζα, καὶ παρετέθη μοι ὀψάρια πλείονα, καὶ εἶπα τῷ Τωβια
τῷ υἱῷ μου Παιδίον, βάδιζε καὶ ὃν ἂν εὕρῃς πτωχὸν τῶν ἀδελφῶν
ἡμῶν ἐκ Νινευητῶν αἰχμαλώτων, ὃς μέμνηται ἐν ὅλῃ καρδίᾳ αὐ-
τοῦ, καὶ ἄγαγε αὐτὸν καὶ φάγεται κοινῶς μετ᾽ ἐμοῦ· καὶ ἰδὲ προσ-
3 μενῶ σε, παιδίον, μέχρι τοῦ σε ἐλθεῖν. [3]καὶ ἐπορεύθη Τωβιας ζη-
τῆσαί τινα πτωχὸν τῶν ἀδελφῶν ἡμῶν. καὶ ἐπιστρέψας λέγει Πά-
τερ. καὶ εἶπα αὐτῷ Ἰδοὺ ἐγώ, παιδίον. καὶ ἀποκριθεὶς εἶπεν Πάτερ,
ἰδοὺ εἷς ἐκ τοῦ ἔθνους ἡμῶν πεφόνευται καὶ ἔρριπται ἐν τῇ ἀγορᾷ
4 καὶ αὐτόθι νῦν ἐστραγγάληται. [4]καὶ ἀναπηδήσας ἀφῆκα τὸ ἄριστον
πρὶν ἢ γεύσασθαί με αὐτοῦ καὶ ἀναιροῦμαι αὐτὸν ἐκ τῆς πλατείας

22 βασιλεα Sc
2 1 σαχερδονος Ra. (cf. 1 21. 22)] σαρχεδ. S | τη εορτη Ra.] της -της S | ⟨επτα⟩ addidi